cùm si separatio fiat, pulchrius se habebit, huius quidam picti oculus, alterius verò cuiusdam alia particula. Si igitur de omni populo omníque multitudine recipitur hanc esse differentiam multitudinis ad paucos studiosos, incertum est, imò per Iouem certum, quòd de quibusdam est impossibile. nam eadem ratio de bestiis esset, quanquam quid differunt quidam, vt dixerim, à bestiis? sed de aliqua multitudine nihil vetat, quod dictum est esse verum. Quapropter dubitationé illam priorem per ista soluere quis potest, ac similiter aliam subsequentem, quorum oporteat potestatem habere liberos homines ac multitudinem ciuium, quales sunt quicunque neque opes habét, neque virtutis vllam existimationem. Etenim permittere istis magnos magistratus, nequaquam est tutum, propter iniustitiam & ignorantiam, per quas quibusdam iniuriarentur, in quibusdã errarent. Rursus verò excludere illos penitus ab honoribus periculosum esset. cùm enim multitudo inopum est in ciuitate, eadémque ab honorib. exclusa, necesse est eam ciuitaté esse plenam hostiũ reipublicæ. restat igitur vt ad consultandum, & decernendum isti recipiantur. Quapropter & Solon, & alij quidã eorũ qui leges cõdidere, huiuscemodi homines ad repetendas gestorũ rationes, & ad suffragia electionésq. magistratuum admittunt: solis autem vt magistratus committantur, nequaquam permittunt. Dũ enim cum aliis vnà decernunt, atq. consultant, capiunt omnes simul sufficienté sensum, & permisti melioribus prosunt reipublicæ: quemadmodũ non purum alimentum vnà cum puro, totũ facit vtilius, quàm paucũ. separatim verò vnusquisq. imperfectus est ad iudicandum. Sed habet dubitationé huiusmodi ordinatio reipublicæ. Primum, quia videretur eiusdẽ esse hominis scire iudicare quis rectè medelam attulit, qui ipse sciat etiam mederi, ac sanitatem ægrotantibus afferre. hic autem est medicus. eodem modo de aliis facultatibus & artibus. vt enim medicum rationem suæ medelę apud alios medicos reddere oportet, ita & alios apud similes. Medicus autẽ est & ille qui agit, & ille qui præcipit & ostendit, & tertio loco ille qui à pueritia expertus est circa artem. sunt enim quidam tales in cunctis (vt ita dixerim) artibus. tribuimus verò iudicium non minus expertis quàm scientibus. Deinde & circa electionem eodem se videtur modo habere. nam rectè eligere scientis est opus:

A ἐπεὶ κεχωρισμένων γε κάλλιον ἔχειν τοῦ γεγραμμένου, τουδὶ μὲν τὸν ὀφθαλμόν, ἑτέρου δέ τινος ἕτερον μόριον. εἰ μὲν οὖν περὶ πάντα δῆμον καὶ περὶ πᾶν πλῆθος ἐνδέχεται ταύτην εἶναι τὴν διαφορὰν τῶν πολλῶν πρὸς τοὺς ὀλίγους σπουδαίους, ἄδηλον· ἴσως δὲ νὴ Δία δῆλον ὅτι περὶ ἐνίων ἀδύνατον· ὁ γὰρ αὐτὸς κἂν ἐπὶ τῶν θηρίων ἁρμόσειε λόγος. καίτοι τί διαφέρουσιν

B ἔνιοι τῶν θηρίων, ὡς ἔπος εἰπεῖν; ἀλλὰ περὶ τι πλῆθος οὐδὲν εἶναι κωλύει τὸ λεχθὲν ἀληθές. διὸ καὶ τὴν πρότερον εἰρημένην ἀπορίαν λύσειεν ἄν τις διὰ τούτων, καὶ τὴν ἐχομένην αὐτῆς, τίνων δεῖ κυρίους εἶναι τοὺς ἐλευθέρους, καὶ τὸ πλῆθος τῶν πολιτῶν. τοιοῦτοι δ' εἰσὶν ὅσοι [μήτε πλούσιοι,] μήτε ἀξίωμα ἔχουσιν ἀρετῆς μηδέν. τὸ μὲν γὰρ μετέχειν αὐτοὺς τῶν ἀρχῶν τῶν μεγίστων, οὐκ

C ἀσφαλές. διά τε γὰρ ἀδικίαν, καὶ δι' ἀφροσύνην, τὰ μὲν ἀδικεῖν ἄν, τὰ δ' ἁμαρτάνειν αὐτούς. τὸ δὲ μὴ μεταδιδόναι, μηδὲ μετέχειν, φοβερόν. ὅταν γὰρ ἄτιμοι πολλοὶ καὶ πένητες ὑπάρχωσι, πολεμίων ἀναγκαῖον εἶναι πλήρη τὴν πόλιν ταύτην. λείπεται δὴ τοῦ βουλεύεσθαι καὶ κρίνειν μετέχειν αὐτούς. διόπερ καὶ Σόλων καὶ τῶν ἄλλων τινὲς νομοθετῶν τάττουσιν

D ἐπί τε τὰς ἀρχαιρεσίας, καὶ τὰς εὐθύνας τῶν ἀρχόντων, ἄρχειν δὲ κατὰ μόνας οὐκ ἐῶσι. πάντες μὲν γὰρ ἔχουσι συνελθόντες ἱκανὴν αἴσθησιν, καὶ μιγνύμενοι τοῖς βελτίοσι, τὰς πόλεις ὠφελοῦσι, καθάπερ ἡ μὴ καθαρὰ τροφὴ μετὰ τῆς καθαρᾶς τὴν πᾶσαν ποιεῖ χρησιμωτέραν τῆς ὀλίγης· χωρὶς δ' ἕκαστος ἀτελὴς περὶ τὸ κρίνειν ἐστίν. ἔχει δ' ἡ τάξις αὕτη τῆς πολιτείας ἀπορίαν, πρώτην μέν, ὅτι

E δόξειεν ἂν τοῦ αὐτοῦ εἶναι τὸ κρῖναι τίς ὀρθῶς ἰάτρευκεν, οὗπερ καὶ τὸ ἰατρεῦσαι καὶ ποιῆσαι ὑγιᾶ τὸν κάμνοντα τῆς νόσου τῆς παρούσης· οὗτος δ' ἐστὶν ἰατρός. ὁμοίως δὲ τοῦτο καὶ περὶ τὰς ἄλλας ἐμπειρίας καὶ τέχνας. ὥσπερ οὖν ἰατρὸν δεῖ διδόναι τὰς εὐθύνας ἐν ἰατροῖς, οὕτω καὶ τοὺς ἄλλους ἐν τοῖς ὁμοίοις. ἰατρὸς δ' ὅ τε δημιουργός, καὶ ὁ ἀρχιτεκτονικός, καὶ τρίτος ὁ πε-

F παιδευμένος περὶ τὴν τέχνην. εἰσὶ γάρ τινες τοιοῦτοι περὶ πάσας, ὡς εἰπεῖν, τὰς τέχνας. ἀποδίδομεν δὲ τὸ κρίνειν οὐδὲν ἧττον τοῖς πεπαιδευμένοις, ἢ τοῖς εἰδόσιν. ἔπειτα καὶ περὶ τὴν αἵρεσιν τὸν αὐτὸν ἂν δόξειεν ἔχειν τρόπον. καὶ γὰρ τὸ ἑλέσθαι ὀρθῶς, τῶν εἰδότων ἔργον ἐστίν,

οἷον γεω-